26 ελῶ τὸν δράκοντα ἄνευ σιδήρου καὶ ῥάβδου. [26]καὶ συνεχώρησεν 𝔊
27 αὐτῷ ὁ βασιλεὺς καὶ εἶπεν αὐτῷ Δέδοταί σοι. [27]καὶ λαβὼν ὁ Δα-
νιηλ πίσσης μνᾶς τριάκοντα καὶ στέαρ καὶ τρίχας ἥψησεν ἐπὶ τὸ
αὐτὸ καὶ ἐποίησε μάζαν καὶ ἐνέβαλεν εἰς τὸ στόμα τοῦ δράκοντος,
καὶ φαγὼν διερράγη. καὶ ἔδειξεν αὐτὸν τῷ βασιλεῖ λέγων Οὐ ταῦτα
28 σέβεσθε, βασιλεῦ; [28]καὶ συνήχθησαν οἱ ἀπὸ τῆς χώρας πάντες
ἐπὶ τὸν Δανιηλ καὶ εἶπαν Ιουδαῖος γέγονεν ὁ βασιλεύς· τὸν Βηλ
30 κατέστρεψε καὶ τὸν δράκοντα ἀπέκτεινε. [30]καὶ ἰδὼν ὁ βασιλεὺς ὅτι
ἐπισυνήχθη ὁ ὄχλος τῆς χώρας ἐπ᾽ αὐτόν, ἐκάλεσε τοὺς συμβιωτὰς
31/32 αὐτοῦ καὶ εἶπεν Δίδωμι τὸν Δανιηλ εἰς ἀπώλειαν. [31-32]ἦν δὲ λάκ-
κος ἐν ᾧ ἐτρέφοντο λέοντες ἑπτά, οἷς παρεδίδοντο οἱ ἐπίβουλοι
τοῦ βασιλέως, καὶ ἐχορηγεῖτο αὐτοῖς καθ᾽ ἑκάστην ἡμέραν τῶν ἐπι-
θανατίων σώματα δύο. καὶ ἐνεβάλοσαν τὸν Δανιηλ οἱ ὄχλοι εἰς
ἐκεῖνον τὸν λάκκον, ἵνα καταβρωθῇ καὶ μηδὲ ταφῆς τύχῃ. καὶ ἦν
33 ἐν τῷ λάκκῳ Δανιηλ ἡμέρας ἕξ. [33]καὶ ἐγένετο τῇ ἡμέρᾳ τῇ ἕκτῃ
καὶ ἦν Αμβακουμ ἔχων ἄρτους ἐντεθρυμμένους ἐν σκάφῃ ἐν ἑψή-
ματι καὶ στάμνον οἴνου κεκερασμένου καὶ ἐπορεύετο εἰς τὸ πεδίον
34 πρὸς τοὺς θεριστάς. [34]καὶ ἐλάλησεν ἄγγελος κυρίου πρὸς Αμβακουμ

---

βασιλεῦ, δός μοι ἐξουσίαν, καὶ ἀποκτενῶ τὸν δράκοντα ἄνευ μα- θ'
26 27 χαίρας καὶ ῥάβδου. [26]καὶ εἶπεν ὁ βασιλεύς Δίδωμί σοι. [27]καὶ ἔλα-
βεν Δανιηλ πίσσαν καὶ στῆρ καὶ τρίχας καὶ ἥψησεν ἐπὶ τὸ αὐτὸ
καὶ ἐποίησεν μάζας καὶ ἔδωκεν εἰς τὸ στόμα τοῦ δράκοντος, καὶ
φαγὼν διερράγη ὁ δράκων. καὶ εἶπεν Ἴδετε τὰ σεβάσματα ὑμῶν.
28 [28]καὶ ἐγένετο ὡς ἤκουσαν οἱ Βαβυλώνιοι, ἠγανάκτησαν λίαν καὶ
συνεστράφησαν ἐπὶ τὸν βασιλέα καὶ εἶπαν Ιουδαῖος γέγονεν ὁ
βασιλεύς· τὸν Βηλ κατέσπασεν καὶ τὸν δράκοντα ἀπέκτεινεν καὶ
29 τοὺς ἱερεῖς κατέσφαξεν. [29]καὶ εἶπαν ἐλθόντες πρὸς τὸν βασιλέα
Παράδος ἡμῖν τὸν Δανιηλ· εἰ δὲ μή, ἀποκτενοῦμέν σε καὶ τὸν
30 οἶκόν σου. [30]καὶ εἶδεν ὁ βασιλεὺς ὅτι ἐπείγουσιν αὐτὸν σφόδρα,
31 καὶ ἀναγκασθεὶς παρέδωκεν αὐτοῖς τὸν Δανιηλ. [31]οἱ δὲ ἐνέβαλον
32 αὐτὸν εἰς τὸν λάκκον τῶν λεόντων, καὶ ἦν ἐκεῖ ἡμέρας ἕξ. [32]ἦσαν
δὲ ἐν τῷ λάκκῳ ἑπτὰ λέοντες, καὶ ἐδίδετο αὐτοῖς τὴν ἡμέραν δύο
σώματα καὶ δύο πρόβατα· τότε δὲ οὐκ ἐδόθη αὐτοῖς, ἵνα κατα-
33 φάγωσιν τὸν Δανιηλ. [33]καὶ ἦν Αμβακουμ ὁ προφήτης ἐν τῇ Ιου-
δαίᾳ, καὶ αὐτὸς ἥψησεν ἕψεμα καὶ ἐνέθρυψεν ἄρτους εἰς σκάφην
34 καὶ ἐπορεύετο εἰς τὸ πεδίον ἀπενέγκαι τοῖς θερισταῖς. [34]καὶ εἶπεν

27 στηρ BA†] στεαρ rel. | ιδετε] ιδου δη A† || 28 λιαν > B*† | κατεσπασεν] -στρεψεν A || 31 ενεβαλον (cf. 42)] εν > B || 32 εδιδοτο B^c: cf. Thack. p. 250 || 33 αυτος] ουτος A†: cf. 7 | επορευθη A†